τέχνα θεὸς ἔδωκε πορίζειν τοῖς ἀνθρώποις, ἵν᾽ ὁπότε εἰς b
τὴν τοιαύτην ἀπορίαν ἔλθοιεν, ἔχοι βλάστην καὶ ἐπίδοσιν
τὸ τῶν ἀνθρώπων γένος. Πένητες μὲν δὴ διὰ τὸ τοιοῦτον
σφόδρα οὐκ ἦσαν, οὐδ᾽ ὑπὸ πενίας ἀναγκαζόμενοι διάφοροι
ἑαυτοῖς ἐγίγνοντο· πλούσιοι δ᾽ οὐκ ἄν ποτε ἐγένοντο ἄχρυ-
σοί τε καὶ ἀνάργυροι ὄντες, ὃ τότε ἐν ἐκείνοις παρῆν. Ἡι
δ᾽ ἄν ποτε συνοικίᾳ μήτε πλοῦτος συνοικῇ μήτε πενία,
σχεδὸν ἐν ταύτῃ γενναιότατα ἤθη γίγνοιτ᾽ ἄν· οὔτε γὰρ
ὕβρις οὔτ᾽ ἀδικία, ζῆλοί τε αὖ καὶ φθόνοι οὐκ ἐγγίγνονται. c
Ἀγαθοὶ μὲν δὴ διὰ ταῦτά τε ἦσαν καὶ διὰ τὴν λεγομένην
εὐήθειαν· ἃ γὰρ ἤκουον καλὰ καὶ αἰσχρά, εὐήθεις ὄντες
ἡγοῦντο ἀληθέστατα λέγεσθαι καὶ ἐπείθοντο. Ψεῦδος γὰρ
ὑπονοεῖν οὐδεὶς ἠπίστατο διὰ σοφίαν, ὥσπερ τὰ νῦν, ἀλλὰ
περὶ θεῶν τε καὶ ἀνθρώπων τὰ λεγόμενα ἀληθῆ νομίζοντες
ἔζων κατὰ ταῦτα· διόπερ ἦσαν τοιοῦτοι παντάπασιν οἵους
αὐτοὺς ἡμεῖς ἄρτι διεληλύθαμεν.

ΚΛ. Ἐμοὶ γοῦν δὴ καὶ τῷδε οὕτως ταῦτα συνδοκεῖ. d

ΑΘ. Οὐκοῦν εἴπωμεν ὅτι γενεαὶ διαβιοῦσαι πολλαὶ τοῦ-
τον τὸν τρόπον τῶν πρὸ κατακλυσμοῦ γεγονότων καὶ τῶν
νῦν ἀτεχνότεροι μὲν καὶ ἀμαθέστεροι πρός τε τὰς ἄλλας
μέλλουσιν εἶναι τέχνας καὶ πρὸς τὰς πολεμικάς, ὅσαι τε
πεζαὶ καὶ ὅσαι κατὰ θάλατταν γίγνονται τὰ νῦν, καὶ ὅσαι
δὴ κατὰ πόλιν μόνον αὐτοῦ, δίκαι καὶ στάσεις λεγόμεναι,
λόγοις ἔργοις τε μεμηχανημέναι πάσας μηχανὰς εἰς τὸ e
κακουργεῖν τε ἀλλήλους καὶ ἀδικεῖν, εὐηθέστεροι δὲ καὶ
ἀνδρειότεροι καὶ ἅμα σωφρονέστεροι καὶ σύμπαντα δικαιό-
τεροι; τὸ δὲ τούτων αἴτιον ἤδη διεληλύθαμεν.

ΚΛ. Ὀρθῶς λέγεις.

ΑΘ. Λελέχθω δὴ ταῦτα ἡμῖν καὶ τὰ τούτοις συνεπόμενα

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416226795/16 UNIVERSITÄT LEIPZIG